ἵνα τί οὕτω πενθεῖς. μειδιάσας δὲ ὁ Αἴσωπος, λέγει πρὸς αὐτόν, γυνή τις προσφάτως τὸν ἄνδρα θάψασα καθ' ἡμέραν ἀπιοῦσα πρὸς τὸ μνῆμα ἐθρήνει. ἀροτριῶν δέ τις σύνεγγυς ἐπεθύμησε μετ' αὐτῆς συγγενέσθαι. καταλιπὼν οὖν τὰς βόας αὐτοῦ ἔκλαιε παραγινόμενος μετὰ τῆς γυναικός. ἡ δὲ ἐπύθετο αὐτοῦ, διατί καὶ αὐτὸς κλαίει. ὁ δὲ εἶπεν, ὅτι κἀγὼ γυναῖκα εὐπρεπῆ κατώρυξα. ὅταν οὖν κλαύσω τῆς λύπης κουφίζομαι. ἡ δὲ ἔφη, κἀγὼ τὸ αὐτὸ πάσχω. κἀκεῖνος φησὶν εἰ τοίνυν ταῖς αὐταῖς περιεπέσαμεν λύπαις τί οὐκ ἐπισυγγινόμεθα ἑαυτοῖς. ἐγὼ μὲν γὰρ ἀγαπήσω σε ὡς ἐκείνην, σὺ δὲ ὡς τὸν ἄνδρα. ταῦτα λέγων, ἔπεισε τὴν γυναῖκα, καὶ συγγινόμενος ἐνέπαιξεν αὐτήν.

γρ. κέκλοφεν

ἐλθὼν δέ τις καὶ λύσας αὐτοῦ τὰς βόας ἀπήλασεν.